*τίθεσθαι, τῶν δ' αὐτοῦ δογμάτων κατήγορον ὄντα δεινό-
τερον ἢ συνήγορον, καὶ φυλάττεσθαι μὲν ἑτέροις παραι-
νοῦντα τοὺς εἰς τὰ ἐναντία λόγους ὡς περισπῶντας τὴν
κατάληψιν, αὐτὸν δὲ τῶν βεβαιούντων τὴν κατάληψιν λό-
γων φιλοτιμότερον συντιθέντα τοὺς ἀναιροῦντας. καίτοι
αὐτὸς ὅτι τοῦτ' αὐτὸ φοβεῖται, σαφῶς ὑποδείκνυσιν ἐν τῷ
τετάρτῳ περὶ Βίων, ταῦτα γράφων· 'οὐχ ὡς ἔτυχε δ'
οὐδὲ τοὺς ἐναντίους ὑποδεικτέον λόγους οὐδὲ ⟨τὰ⟩ πρὸς*
E *τὰ ἐναντία πιθανὰ ἀλλ' εὐλαβουμένους μὴ καὶ περισπα-
σθέντες ὑπ' αὐτῶν τὰς καταλήψεις ἀφῶσιν, οὔτε τῶν
λύσεων ἱκανῶς ἂν ἀκοῦσαι δυνάμενοι καταλαμβάνοντές τ'
εὐαποσείστως· ἐπεὶ καὶ οἱ κατὰ τὴν συνήθειαν καταλαμ-
βάνοντες καὶ τὰ αἰσθητὰ καὶ τὰ ἄλλα ἐκ τῶν αἰσθήσεων
ῥᾳδίως προΐενται ταῦτα, καὶ ὑπὸ τῶν Μεγαρικῶν ἐρω-
τημάτων περισπώμενοι καὶ ὑπ' ἄλλων πλειόνων καὶ δυ-
ναμικωτέρων ἐρωτημάτων.' ἡδέως ἂν οὖν πυθοίμην τῶν
Στωικῶν, εἰ τὰ Μεγαρικὰ ἐρωτήματα δυναμικώτερα νο-
μίζουσιν εἶναι τῶν ὑπὸ Χρυσίππου κατὰ τῆς συνηθείας*
F *ἐν ἓξ βιβλίοις γεγραμμένων· ἢ τοῦτο παρ' αὐτοῦ Χρυ-
σίππου δεῖ πυνθάνεσθαι; σκόπει γὰρ οἷα περὶ τοῦ Μεγα-
ρικοῦ λόγου γέγραφεν ἐν τῷ περὶ Λόγου Χρήσεως οὕτως·
'οἷόν τι συμβέβηκε καὶ ἐπὶ τοῦ Στίλπωνος λόγου καὶ Με-
νεδήμου· σφόδρα γὰρ ἐπὶ σοφίᾳ γενομένων αὐτῶν ἐνδό-
ξων, νῦν εἰς ὄνειδος αὐτῶν ὁ λόγος περιτέτραπται, ὡς
τῶν μὲν παχυτέρων τῶν δ' ἐκφανῶς σοφιζομένων.' εἶτα* |
1037 *τούτους μέν, ὦ βέλτιστε, τοὺς λόγους, ὧν καταγελᾷς καὶ
καλεῖς ὀνείδη τῶν ἐρωτώντων ὡς ἐμφανῆ τὴν κακίαν
ἔχοντας, ὅμως δέδιας μή τινας περισπάσωσιν ἀπὸ τῆς*